verùm etiam actu,& ſeiunctim inſunt. Similiter autem nec omnes locutiones falſas, nec veras poſſibile eſt eſſe, tum propter alias multas difficultates, quæ ob hãc poſitionem euenirent, tum etiam, quoniam ſi cũctæ falſæ ſint, nec cùm hoc ipſum aliquis dicet, verũ dicet. Si autẽ veræ, cùm omnes falſas dicet, non falſum dicet.

CAPVT VI.

Omnis autem ſcientia, circa vnumquodque eorum, quæ ſub ea ſcibilia ſunt, principia quædam, & cauſas quærit: vt medicatiua, & exercitatiua, ac ſingulæ effectiuarum, vel mathematicarum. Harum etenim vnaquæque circa quoddam circumſcriptum genus, tanquam exiſtens & ens, non tamen prout ens eſt, tractat. Sed hæc alia quædam ſcientia præter illas ſcientias eſt. Dictarum verò ſcientiarum vnaquæque accipiens aliquo modo ipſum quid eſt in vnoquoque genere, cætera vel debiliùs, vel exactius conatur oſtendere. Accipiunt autem ipſum quid eſt, quædam per ſenſum, quædam ſupponentes. Vnde ex hac inductione patet ſubſtantiæ, & ipſius quid eſt, demonſtrationem non eſſe. Cùm autem ſit aliqua de natura ſcientia, patet, quòd & à practica, & ab effectiua diuerſa erit. Effectiuæ nanque, in faciente, non in eo, quod fit, motus principium eſt: & hoc, aut ars quædam, aut alia vis eſt. Similiter & practicæ, non in eo quod agitur, ſed magis in agentibus motus eſt: phyſica verò ſcientia, circa ea quæ in ſeipſis habent motus principium, eſt. Quòd itaque neque practicam, neque effectiuam, ſed ſpeculatiuam eſſe naturalem ſcientiam neceſſe ſit, ex his patet: in vnum nanque horum genus, eam cadere neceſſe eſt. Cùm verò vnicuique ſcientiarum neceſſe ſit aliquo modo ipſum quid eſt ſcire, & hoc vt principio vti, oportet non latere quonam modo definiendum phyſico ſit, quóve modo ſubſtantiæ ratio ſumenda ſit: vtrum vt ſimũ, an magis vt concauum. Horum enim ſimi quidem ratio vnà cum materia rei dicitur, concaui verò abſque materia: ſimitas nanque in naſo fit, & ideo ratio quoque eius cum eo dicitur. Simum enim eſt naſus concauus. Manifeſtum eſt igitur, etiam carnis, & oculi, cæterarúmque partiũ rationem cum materia reddendam eſſe. Cùm autem quædã ſit entis ſciẽtia prout ens, & ſeparabile eſt, conſiderandum eſt vtrum eandem cum phyſica ponendũ ſit,

A ἀλλ' ἐνεργείᾳ, καὶ ἀποκεκριμένον. ὁμοίως δὲ οὐδὲ πάσας ψευδεῖς, οὐδὲ ἀληθεῖς τὰς φάσεις δυνατὸν εἶναι δι' ἄλλα τε πολλὰ τῶν λεχθέντων ἂν δυσχερῶν διὰ ταύτην τὴν θέσιν· καὶ διότι ψευδῶν μὲν οὐσῶν πασῶν, οὐδ' αὐτὸ τοῦτό τις φάσκων ἀληθεύσει· ἀληθῶν δὲ, ψευδεῖς εἶναι πάσας λέγων, οὐ ψεύδεται.

Κεφάλαιον ζ.

Πᾶσα δὲ ἐπιστήμη ζητεῖ τινὰς ἀρχὰς B καὶ αἰτίας περὶ ἕκαστον τῶν ὑφ' αὐτὴν ἐπιστητῶν, οἷον ἰατρικὴ καὶ γυμναστικὴ καὶ τῶν λοιπῶν ἑκάστη τῶν ποιητικῶν, ἢ μαθηματικῶν. ἑκάστη γὰρ τούτων περιγραψαμένη τι γένος αὐτὴ περὶ τοῦτο πραγματεύεται ὡς ὑπάρχον καὶ ὄν, οὐχ ᾗ δὲ ὄν, ἀλλ' ἑτέρα τις αὕτη παρὰ ταύτας τὰς ἐπιστήμας ἐστὶν ἐπιστήμη· τῶν δὲ λεχθεισῶν ἐπιστημῶν, ἑκάστη λαβοῦσα πως τὸ τί ἐστιν ἐν ἑκάστῳ γένει, πειρᾶται δεικνύναι τὰ C λοιπὰ μαλακώτερον ἢ ἀκριβέστερον. λαμβάνουσι δὲ τὸ τί ἐστιν, αἱ μὲν διὰ τῆς αἰσθήσεως· αἱ δ' ὑποτιθέμεναι. διὸ καὶ δῆλον ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐστιν οὐκ ἔστιν ἀπόδειξις. ἐπεὶ δὲ ἔστι τις ἡ περὶ φύσεως ἐπιστήμη δῆλον ὅτι καὶ πρακτικῆς ἑτέρα καὶ ποιητικῆς ἐστι. ποιητικῆς μὲν γὰρ ἐν τῷ ποιοῦντι, καὶ οὐ τῷ ποιουμένῳ τῆς κινήσεως ἡ ἀρχὴ, καὶ τοῦτ' D ἐστὶν εἴτε τέχνη τις, εἴτ' ἄλλη τις δύναμις. ὁμοίως δὲ καὶ ἐπὶ τῆς πρακτικῆς, οὐκ ἐν τῷ πρακτῷ, μᾶλλον δ' ἐν τοῖς πράττουσιν ἡ κίνησις. ἡ δὲ τοῦ φυσικοῦ περὶ τὰ ἔχοντα ἐν ἑαυτοῖς κινήσεως ἀρχήν ἐστιν. ὅτι μὲν τοίνυν οὔτε πρακτικὴν οὔτε ποιητικὴν, ἀλλὰ θεωρητικὴν, ἀναγκαῖον εἶναι τὴν φυσικὴν ἐπιστήμην, δῆλον ἐκ τούτων. εἰς ἕν γάρ τι τούτων τῶν γενῶν ἀνάγκη πίπτειν αὐτήν. ἐπεὶ δὲ τὸ τί ἐστιν ἀναγκαῖον E ἑκάστῃ πως τῶν ἐπιστημῶν εἰδέναι καὶ τούτῳ χρῆσθαι ἀρχῇ, δεῖ μὴ λανθάνειν πῶς ὁριστέον τῷ φυσικῷ, καὶ πῶς ὁ τῆς οὐσίας λόγος ληπτέος, πότερον ὡς τὸ σιμὸν, ἢ μᾶλλον ὡς τὸ κοῖλον. τούτων γὰρ ὁ μὲν τοῦ σιμοῦ λόγος μετὰ τῆς ὕλης λέγεται τῆς τοῦ πράγματος. ὁ δὲ τοῦ κοίλου, χωρὶς τῆς ὕλης. ἡ γὰρ σιμότης ἐν ῥινὶ γίγνεται. διὸ καὶ ὁ λόγος αὐτῆς μετὰ ταύτης θεωρεῖται, τὸ σιμὸν γάρ ἐστι ῥὶς κοίλη. F φανερὸν οὖν ὅτι καὶ σαρκὸς καὶ ὀφθαλμοῦ, καὶ τῶν λοιπῶν μορίων μετὰ τῆς ὕλης ἀεὶ τὸν λόγον ἀποδοτέον. ἐπεὶ δὲ ἔστι τις ἐπιστήμη τοῦ ὄντος, ᾗ ὂν καὶ χωριστὸν σκεπτέον πότερόν ποτε τῇ φυσικῇ τὴν αὐτὴν θετέον εἶναι ταύτην, ἢ μᾶλ-